νῶν, καὶ διεξάγων καὶ εὐκληρίαν ὧν ἄρχειν τέταξαι· Αὐτοῖς τε τούτοις, καὶ τῷ Γένει παντὶ, κἀμοὶ πρὸ πάντων εὖχος τε καὶ σέμνωμα καὶ ἀγλάϊσμα καὶ ὤν, καὶ ἐσόμενος.

ΤΗΣ
ΥΜΕΤΕΡΑΣ ΘΕΟΣΕΒΕΣΤΑΤΗΣ
ΥΨΗΛΟΤΗΤΟΣ.

Ἐν Λειψίᾳ αψξϛʹ.
Μαΐου ηʹ.

ὑποκλινέστατος ἐλάχιστος δοῦλος,

ΕΥΓΕΝΙΟΣ ὁ ΔΙΑΚΟΝΟΣ
ὁ ΒΟΥΛΓΑΡΙΣ.

ΤΩ ΑΝΑ-

# ΤΩ ΑΝΑΓΙΝΩΣΚΟΝΤΙ.

Ἆρ' ἔχει τι τὸ χρειῶδες, ἣν ἐν χερσὶ φέρεις, ἡ Βίβλος; Ἆρ' ἔστι μοι, ὃν ἐξ αὐτῆς κομίσαιο καρπὸν; οἷά τε δὲ τὰ ἐν αὐτῇ τὴν γοῦν τοῦ χρόνου Σοι δαπάνην ἀντισηκῶσαι, καὶ ὃν ἐπὶ τῷ ἀναλέξασθαι καταβαλεῖς πόνον, κἂν ἐκ τοῦ μετρίου ἀμείψασθαι; Ἀλλὰ τοῦτο δὴ αὐτὸς (ὦ φίλτατε Ἀναγνῶστα) οὐκ ἂν ἐγώ σοι γενοίμην ἐχέγγυος. Τῆς γὰρ ἀπὸ παντὸς Συγγράμματος ἐπικαρπίας, τῇ μὲν, ἀναλόγως τῇ τοῦ μετιόντος σπουδῇ τε καὶ δεξιότητι προερχομένης, τῇ δὲ, καὶ τοῖς ἐν τῷ συγγράμματι καλοῖς συμμέτρως· καὶ κατὰ λόγον προβαινούσης (ὡς ἂν ἀναλο-

 γικὸς